Idem enim videtur Socrates, & Socrates muſicus eſſe. Socrates enim, non de multis. Quare non dicitur omnis Socrates, ſicuti omnis homo. Quædam igitur ita dicuntur eadem: quædam verò per ſe, ſicuti & vnum. Etenim quorum materia, aut ſpecie, aut numero vna, eadem dicuntur: & quorum ſubſtantia, vna. Quare patet, quòd identitas vnitas quædam eſſentiæ eſt, aut plurium, aut cùm vt pluribus vtatur: vtputa, cùm dicat ipſum ſibi ipſi idem: vt duobus enim ipſo vtitur. Diuerſa verò dicuntur, quorum aut ſpecies plures, aut materia, aut ratio ſubſtantiæ: & omnino, diuerſum dicitur oppoſitè ad id, quod idem dicitur. Differentia verò dicuntur, quæcunque diuerſa ſunt, cùm idem quid ſint, modò non ſint idem numero, ſed aut ſpecie, aut genere, aut proportione. Item, quorum diuerſum genus, & contraria, & quæcunque diuerſitatem in ſubſtantia habent. Similia dicuntur & quæ idem paſſa ſunt, & quæ plura eadem quàm diuerſa, paſſa ſunt, & quorum qualitas vna. Ac ſecundum quæcunque contrariorum alterari contingit, id quod plura his aut magis propria habet, ſimile illi eſt. Oppoſitè verò ſimilibus diſſimilia dicuntur.

CAPVT X.

Oppoſita dicuntur, contradictio, contraria, ad aliquid, priuatio, & habitus, & ea, ex quibus, & in quæ vltima: vt generationes, & corruptiones & quæcunque ſuſceptiuo amborum non contingit ſimul adeſſe, hæc opponi dicuntur aut ipſa, aut ex quibus ſunt. Fuſcum nanque, & album ſimul eidem non inſunt: quare ea, ex quibus ſunt, opponuntur ipſis. Contraria dicuntur, quæ non poſſunt ſimul eidem adeſſe, cùm eorum ſint, quæ ſecundum genus differunt: & quæ plurimùm differunt, cùm in eodem genere ſint: quæve plurimùm differũt, cùm in eodem ſuſceptiuo ſint: ac etiam quæ plurimùm differunt, cùm eorum ſint, quæ ſub eadem potentia ſunt: & quorum differentia maxima, aut ſimpliciter, aut ſecundum genus, aut ſecundum ſpeciem. Cætera verò contraria dicuntur, quædam eò quòd talia habent: quædam eò quòd ſuſceptiua talium ſunt: quædam eò quòd actiua aut paſſiua talium ſunt, aut agentia, aut patientia, aut abiectiones, aut ſumptiones, aut habitus, aut priuationes ſunt horum, ac talium. Cùm autem vnum, & ens multipliciter dicantur, neceſſe eſt, vt cætera quoque, quæcunque ſecundum hæc dicuntur, ſequantur. Quare & idem, & diuerſum, & contrarium, vt ſecundum vnumquod-

A ταὐτὸ γὰρ δοκεῖ Σωκράτης, καὶ Σωκράτης εἶναι μουσικός. τὸ γὰρ Σωκράτης, οὐκ ἐπὶ πολλῶν. διὸ οὐ πᾶς Σωκράτης λέγεται, ὥσπερ πᾶς ἄνθρωπος. καὶ τὰ μὲν οὕτως λέγεται ταὐτά, τὰ δὲ καθ' αὑτά, ὥσπερ καὶ τὸ ἕν. καὶ γὰρ ὧν ἡ ὕλη μία, ἢ εἴδει ἢ ἀριθμῷ, ἢ γένει ταὐτὰ λέγεται, καὶ ὧν ἡ οὐσία. ὥστε φανερὸν ὅτι ἡ ταυτότης ἑνότης τίς ἐστιν, ἢ πλειόνων τοῦ εἶναι, ἢ ὅταν χρῆται ὡς πλείοσιν· οἷον ὅταν λέγῃ αὐτὸ αὑτῷ ταὐτόν· ὡς δυσὶ

B γὰρ χρῆται αὐτῷ. Ἕτερα δὲ λέγεται, ὧν ἢ τὰ εἴδη πλείω, ἢ ἡ ὕλη, ἢ ὁ λόγος τῆς οὐσίας· καὶ ὅλως ἀντικειμένως τῷ ταὐτῷ λέγεται τὸ ἕτερον. Διάφορα δὲ λέγεται, ὅσα ἕτερά ἐστι τὸ αὐτό τι ὄντα, μὴ μόνον ἀριθμῷ, ἀλλ' ἢ εἴδει, ἢ γένει, ἢ ἀναλογίᾳ. ἔτι ὧν ἕτερον τὸ γένος καὶ τὰ ἐναντία, καὶ ὅσα ἔχει ἐν τῇ οὐσίᾳ τὴν ἑτερότητα. Ὅμοια λέγεται τά τε ταὐτὸ πε-

C πονθότα, καὶ τὰ πλείω ταὐτὰ πεπονθότα, ἢ ἕτερα· καὶ ὧν ἡ ποιότης μία· καὶ καθ' ὅσα ἀλλοιοῦσθαι ἐνδέχεται τῶν ἐναντίων, τούτων τὸ πλείω ἔχον ἢ κυριώτερα, ὅμοιον τούτῳ. ἀντικειμένως δὲ τοῖς ὁμοίοις τὰ ἀνόμοια.

Κεφάλαιον ι.

Ἀντικείμενα λέγεται, ἀντίφασις, καὶ τἀναντία, καὶ τὰ πρός τι, καὶ στέρησις, καὶ ἕξις, καὶ ἐξ ὧν, καὶ εἰς ἃ ἔσχατα· οἷον, αἱ γενέσεις

D καὶ αἱ φθοραί· καὶ ὅσα μὴ ἐνδέχεται ἅμα παρεῖναι τῷ ἀμφοῖν δεκτικῷ, ταῦτα ἀντικεῖσθαι λέγεται, ἢ αὐτά, ἢ ἐξ ὧν ἐστι. φαιὸν γὰρ καὶ λευκὸν ἅμα τῷ αὐτῷ οὐχ ὑπάρχει. διὸ καὶ ἐξ ὧν ἐστιν, ἀντίκειται τούτοις. ἐναντία λέγεται, τά τε μὴ δυνατὰ ἅμα τῷ αὐτῷ παρεῖναι τῶν διαφερόντων κατὰ γένος, καὶ τὰ πλεῖστον διαφέροντα τῶν ἐν τῷ αὐτῷ γένει, καὶ τὰ πλεῖστον δια-

E φέροντα ἐν τῷ αὐτῷ δεκτικῷ, καὶ τὰ πλεῖστον διαφέροντα τῶν ὑπὸ τὴν αὐτὴν δύναμιν, καὶ ὧν ἡ διαφορὰ μεγίστη, ἢ ἁπλῶς, ἢ κατὰ γένος, ἢ κατ' εἶδος. τὰ δ' ἄλλα ἐναντία λέγεται, τὰ μὲν τῷ τὰ τοιαῦτα ἔχειν, τὰ δὲ τῷ δεκτικὰ εἶναι τῶν τοιούτων, τὰ δὲ τῷ ποιητικά, ἢ παθητικά, ἢ ποιοῦντα, ἢ πάσχοντα, ἢ ἀποβολαί, ἢ λήψεις, ἢ ἕξεις, ἢ στερήσεις εἶναι τούτων καὶ τῶν τοιού-

F των. ἐπεὶ δὲ τὸ ἓν καὶ τὸ ὂν πολλαχῶς λέγεται, ἀκολουθεῖν ἀνάγκη καὶ τἆλλα ὅσα κατὰ ταῦτα λέγεται. ὥστε καὶ τὸ ταὐτὸν καὶ τὸ ἕτερον, καὶ τὸ ἐναντίον· ὥστ' εἶναι ἕτερον καθ'